περὶ τȣ͂ εἰδικου. πρὸς δὲ τὸν Καλλικλέα, περὶ τȣ͂ τελικοῦ. πλὴν εἰ καὶ τοῦτο οὕτως ἔχει, καὶ δὴ θαυμάζειν 28) εἰ πάντα ἐν πᾶσι φαίνεται· ἐν γὰρ τῷ ποιητικῷ καὶ τὰ ἄλλα εὑρίσκεται· καὶ ἐν τοῖς ἄλλοις πάντα· κοινωνία γάρ τις ἐστὶ, καὶ πεφοιτήκασι δι᾽ ἀλλήλων. ἀπὸ δὲ τοῦ πλεονάζοντος τὴν τάξιν εἰλήφασιν. 29)

δ΄. Ἐντεῦθεν τοίνυν καὶ ἡ διαίρεσις ἀναφαίνεται τȣ͂ διαλόγου. εἰς τρία γὰρ διῄρηται, εἰς τȣ̀ς πρὸς Γοργίαν λόγȣς, καὶ εἰς τὸ μέρος τὸ ἔχον τȣ̀ς πρὸς τὸν Πῶλον, καὶ εἰς τὸ πρὸς τὸν Καλλικλέα. συναναφαίνεται δὲ καὶ ἡ τάξις τῶν διαλόγων. μαθόντες γὰρ ἐν τῷ Ἀλκιβιάδῃ ὅτι ψυχὴ ἐσμὲν, καὶ ψυχὴ ἡ λογική· ὀφείλομεν κατορθῶσαι τάς τε πολιτικὰς αὐτῆς ἀρετὰς καὶ τὰς καθαρτικάς· ἐκεῖν ἐπειδὴ δεῖ τὰ πολιτικὰ πρότερον εἰδέναι, ἀναγκαίως ȣ̓͂τος ὁ διάλογος μετ᾽ ἐκεῖνον ἀναγινώσκεται, 30) καὶ μετὰ τȣ͂τον ὁ

 Φαί-

28) Fortaſſe legendum οὐ δεῖ θ. cui emendationi ſidem facient verba notae marginalis in codice Regio *Gorgiae* Platonis, quam edidi ſupra ad p. 557. [*Sect.* 62] εἰ δὲ περὶ τȣ͂ τέλȣς — θαυμάζειν οὐ χρή.

29) Quoniam in *Gorgia* de virtutibus politicis praecipue diſſeritur, quae ſunt, vt infra dicitur, iuſtitia et temperantia, hoc eſt τῆς πολιτικῆς τὸ εἶδος, vt ſupra quoque dictum eſt, ἀπὸ τȣ͂ εἰδικȣ͂ igitur, vtpote quod fuſius quam vel τὸ ποιητικὸν, vel τὸ τελικὸν, in ipſo tractatur, dialogi iſtius *ordo* inter caeteros Platonis libros elucet. Prius enim virtutibus *politicis* imbui neceſſe eſt, quam *purgatoriis*, vide infra [Sect. δ.].

30) Μετ᾽ ἐκεῖνον, hoc eſt, poſt Alcibiadem Priorem, cuius titulus alter eſt, περὶ φύσεως ἀνθρώπȣ. Porro quod hic praecipitur, docuit quoque Noſter Commentario ſuo in illum dialogum